[5] Μετὰ δε` ταῦτα συνθεωρήσας τινὰς τῶν Κελτῶν, οἳ κατῴκουν μεταξὺ τοῦ Πάδου καὶ τοῦ Τρεβία ποταμοῦ, πεποιημένους με`ν καὶ πρὸς αὐτὸν φιλίαν, διαπεμπομένους δε` καὶ πρὸς Ῥωμαίους καὶ πεπεισμένους τῷ τοιούτῳ τρόπῳ τὴν παρ᾽ἀμφοῖν ἀσφάλειαν αὐτοῖς ὑπάρξειν, [6] ἐξαποστέλλει πεζοὺς με`ν δισχιλίους, ἱππεῖς δε` Κελτοὺς καὶ Νομάδας εἰς χιλίους, προστάξας ἐπιδραμεῖν αὐτῶν τὴν χώραν. [7] Τῶν δε` πραξάντων τὸ προσταχθε`ν καὶ πολλὴν περιβαλομένων λεῖαν, εὐθέως οἱ Κελτοὶ παρῆσαν ἐπὶ τὸν χάρακα τῶν Ῥωμαίων, δεόμενοι σφίσι βοηθεῖν. [8] Τεβέριος δε` καὶ πάλαι ζητῶν ἀφορμὴν τοῦ πράττειν τότε λαβὼν πρόφασιν ἐξαπέστειλε τῶν με`ν ἱππέων τὸ πλεῖστον μέρος, πεζοὺς δε` σὺν τούτοις ἀκοντιστὰς εἰς χιλίους. [9] Σπουδῇ δε` τούτων προσμιξάντων πέραν τοῦ Τρεβία καὶ διαμαχομένων τοῖς πολεμίοις ὑπε`ρ τῆς λείας, ἐτράπησαν οἱ Κελτοὶ σὺν τοῖς Νομάσι καὶ τὴν ἀποχώρησιν ἐπὶ τὸν ἑαυτῶν ἐποιοῦντο χάρακα. [10] Ταχὺ δε` συννοήσαντες τὸ γινόμενον οἱ προκαθήμενοι τῆς τῶν Καρχηδονίων παρεμβολῆς ἐντεῦθεν ταῖς ἐφεδρείαις ἐβοήθουν τοῖς πιεζομένοις· οὗ γενομένου τραπέντες οἱ Ῥωμαῖοι πάλιν ἐποιοῦντο τὴν ἀπόλυσιν εἰς τὴν ἑαυτῶν παρεμβολήν. [11] Τεβέριος δε` συνορῶν τὸ γινόμενον πάντας ἐπαφῆκε τοὺς ἵππους καὶ τοὺς ἀκοντιστάς. Τούτου δε` συμπεσόντος αὖθις ἐγκλίναντες οἱ Κελτοὶ πρὸς τὴν ἑαυτῶν ἀσφάλειαν ἀπεχώρουν. [12] Ὁ δε` στρατηγὸς τῶν Καρχηδονίων ἀπαράσκευος ὢν πρὸς τὸ κρίνειν τὰ ὅλα καὶ νομίζων δεῖν μηδέποτε χωρὶς προθέσεως μηδ᾽ἐκ πάσης ἀφορμῆς ποιεῖσθαι τοὺς ὁλοσχερεῖς κινδύνους, ὅπερ εἶναι φατέον ἡγεμόνος ἔργον ἀγαθοῦ, [13] τότε με`ν ἐπέσχε τοὺς παρ᾽αὐτοῦ συνεγγίσαντας τῷ χάρακι καὶ στῆναι με`ν ἐκ μεταβολῆς ἠνάγκασε, διώκειν δε` καὶ συμπλέκεσθαι τοῖς πολεμίοις ἐκώλυσε, διὰ τῶν ὑπηρετῶν καὶ σαλπιγκτῶν ἀνακαλούμενος. [14] Οἱ δε` Ῥωμαῖοι βραχὺν ἐπισχόντες χρόνον ἀνέλυσαν, ὀλίγους με`ν αὐτῶν ἀποβαλόντες, πλείους δε` τῶν Καρχηδονίων διεφθαρκότες.